Examples of τε

ὦ φίλταται γυναῖκες, εἰς ὑμᾶς βλέπω,
καὶ τἄμ' ἐν ὑμῖν ἐστιν ἢ καλῶς ἔχειν
ἢ μηδὲν εἶναι καὶ στερηθῆναι πάτρας
φίλου τ' ἀδελφοῦ φιλτάτης τε συγγόνου.

My dearest women, I turn to you. I am in your hands and it is up to you whether I do well or am nothing and am robbed of my fatherland, my dear brother and my dear sister.

Euripides Iphigenia in Tauris 1056-9

πυρᾶς δ' ἐπ' αὐτῆς οἶν μελάγχιμον πόκῳ
σφάγιον ἐσεῖδον αἷμά τ' οὐ πάλαι χυθὲν
ξανθῆς τε χαίτης βοστρύχους κεκαρμένους.

And on the pyre itself I saw a sheep with black fleece as a sacrifice and blood recently poured and shorn locks of blond hair.

Euripides Electra 513-5

εἰ δὲ διαφθερεῖτε τὸν δῆμον τὸν Μυτιληναίων, ὃς οὔτε μετέσχε τῆς ἀποστάσεως, ἐπειδή τε ὅπλων ἐκράτησεν, ἑκὼν παρέδωκε τὴν πόλιν, πρῶτον μὲν ἀδικήσετε τοὺς εὐεργέτας κτείνοντες, ἔπειτα καταστήσετε τοῖς δυνατοῖς τῶν ἀνθρώπων ὃ βούλονται μάλιστα·

If you go and destroy the demos of Mytilene, which did not take part in the rebellion and which, as soon as it laid hands on some weapons willingly surrendered the city to you, you will first be wronging your own supporters, and second, you will be handing those in power exactly what they want.

Thucydides Histories 3. 47

ἀλλ’ ἡ τυραννὶς πολλά τ’ ἄλλ’ εὐδαιμονεῖ
κἄξεστιν αὐτῇ δρᾶν λέγειν θ’ ἃ βούλεται.

Power is lucky in many respects, but it can also act and speak as it wants.

Sophocles Antigone 506-7

σύ τ’ αὖ πρόσωπον πρὸς κασίγνητον στρέφε,
Πολύνεικες· ἐς γὰρ ταὐτὸν ὄμμασιν βλέπων
λέξεις τ’ ἄμεινον τοῦδέ τ’ ἐνδέξῃ λόγους.

Now you, Polyneices: face your brother! If you make eye-contact with him you will better make your case and also hear what he has to say.

Euripides Phoenissae 457

αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε·

Strife, war and battle are always dear to your heart.

Homer Iliad 1.172-192

αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε·

Strife, war and battle are always dear to your heart.

Homer Iliad 1.172-192

αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε·

Strife, war and battle are always dear to your heart.

Homer Iliad 1.172-192